πτικολλαῖς προθεὶς τὴν τῶν ὄντων γνῶ-
σιν. εἶτα καὶ τοῦ αἰτίου ὡς ἐφικτὸν
ἄνω διαβιβάζει τὸν νοῦν. ἀλλὰ πέρας
ὄντων τῶν στερεῶν ἐν τοῖς σχήμασι,
πέρας ἐν τούτοις καὶ ὁ κατὰ σύνο-
ψιν λόγος τῶν περὶ ἀριθμητικῆς εἰ-
λήφθω. τῶν κατὰ μέρος ἀρι-
θμητικῶν θεωρημάτων, ὡς οὐ πε-
ρασμένων τὴν ἔκθεσιν παραιτούμεθα:

† τῶν περὶ ἀριθμητικῆς εἴληφε τέλος
ἡ σύνοψις:

## τῆς μουσικῆς σύνοψις ἠκριβωμένη

Μουσικὴν οἱ παλαιοί, συνέχειν εἶπον
τὸ πᾶν. οὐδὲν γὰρ τῶν ὄντων, συμ-
μετρίας ἄτερ καὶ ἀναλογίας ἐστίν.
ἀλλ' οὐδέ τι τῶν γινομένων, μὴ
μετὰ συμμετρίας τῆς προσηκού-
σης καὶ ἀναλογίας γινόμενον, καλῶς
ἄν ποτε γένοιτο. κἂν τεχνητὸν εἴη

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_262/0155